ὡς δ' αὔτως καὶ οἱ κατηγοροῦντες, καὶ οἱ ἀπολογούμενοι, ἐκ τῶν ὑπαρχόντων σκοπούμενοι κατηγοροῦσι καὶ ἀπολογοῦνται. οὐδὲν δὲ διαφέρει περὶ Ἀθηναίων, ἢ Λακεδαιμονίων, ἢ ἀνθρώπου, ἢ θεοῦ, ταὐτὸ τοῦτο δρᾶν· καὶ γὰρ συμβουλεύοντα τῷ Ἀχιλλεῖ, καὶ ἐπαινοῦντα καὶ ψέγοντα, καὶ κατηγοροῦντα καὶ ἀπολογούμενον ὑπὲρ αὐτοῦ, τὰ ὑπάρχοντα, ἢ δοκοῦντα ὑπάρχειν, ληπτέον, ἵν' ἐκ τούτων λέγωμεν ἐπαινοῦντες ἢ ψέγοντες, εἴ τι καλὸν ὑπάρχει ἢ αἰσχρόν. κατηγοροῦντες δὲ ἢ ἀπολογούμενοι, εἴ τι δίκαιον ἢ ἄδικον· συμβουλεύοντες δέ, εἴ τι συμφέρον ἢ βλαβερόν. ὁμοίως δὲ τούτοις καὶ περὶ πράγματος ὁτουοῦν· οἷον περὶ δικαιοσύνης, εἰ ἀγαθὸν ἢ μὴ ἀγαθόν, ἐκ τῶν ὑπαρχόντων τῇ δικαιοσύνῃ, ἢ τῷ ἀγαθῷ. ὥστ' ἐπειδὴ καὶ πάντες οὕτω φαίνονται ἀποδεικνύντες, ἄν τε ἀκριβέστερον, ἄν τε μαλακώτερον συλλογίζωνται· οὐ γὰρ ἐξ ἁπάντων λαμβάνουσιν, ἀλλ' ἐκ τῶν περὶ ἕκαστον ὑπαρχόντων, καὶ διὰ τοῦ λόγου· δῆλον γὰρ ὅτι ἀδύνατον ἄλλως δεικνύναι· φανερὸν ὅτι ἀναγκαῖον, ὥσπερ ἐν τοῖς τοπικοῖς, πρότερον περὶ ἕκαστον ἔχειν ἐξειλεγμένα περὶ τῶν ἐνδεχομένων, καὶ τῶν ἐπικαιροτάτων. περὶ δὲ τῶν ἐξ ὑπογύου γιγνομένων, ζητεῖν τὸν αὐτὸν τρόπον, ἀποβλέποντα μὴ εἰς ἀόριστα, ἀλλ' εἰς τὰ ὑπάρχοντα, περὶ ὧν ὁ λόγος· καὶ περιγράφοντα, ὅτι πλεῖστα καὶ ἐγγύτατα τοῦ πράγματος· ὅσῳ μὲν γὰρ ἂν πλείω ἔχηται τῶν ὑπαρχόντων, τοσούτῳ ῥᾷον δεικνύναι· ὅσῳ δ' ἐγγύτερον, τοσούτῳ οἰκειότερα, καὶ ἧττον κοινά. λέγω δέ, κοινὰ μέν, τὸ ἐπαινεῖν τὸν Ἀχιλλέα ὅτι ἄνθρωπος, καὶ ὅτι τῶν ἡμιθέων, καὶ ὅτι ἐπὶ τὸ Ἴλιον ἐστρατεύσατο· ταῦτα γὰρ καὶ ἄλλοις ὑπάρχει πολλοῖς. ὥστ' οὐδὲν μᾶλλον ὁ τοιοῦτος Ἀχιλλέα ἐπαινεῖ ἢ Διομήδην. ἴδια δέ, ἃ μηδενὶ ἄλλῳ συμβέβηκεν, ἢ τῷ Ἀχιλλεῖ, οἷον τὸ ἀποκτεῖναι τὸν Ἕκτορα τὸν ἄριστον τῶν Τρώων καὶ τὸν Κύκνον, ὃς ἐκώλυσεν ἅπαντας ἀποβαίνειν, ἄτρωτος ὢν· καὶ ὅτι νεώτατος, καὶ οὐκ ἔνορκος ὢν ἐστράτευσε· καὶ ὅσα ἄλλα τοιαῦτα. εἷς μὲν οὖν τρόπος τῆς ἐκλογῆς, καὶ πρῶτος οὗτος ὁ τοπικός. τὰ δὲ στοιχεῖα τῶν ἐνθυμημάτων λέγωμεν· στοιχεῖον δὲ λέγω καὶ τόπον ἐνθυμήματος τὸ αὐτό· πρότερον δ' εἴπωμεν, περὶ ὧν ἀναγκαῖον εἰπεῖν πρότερον· ἔστι γὰρ τῶν ἐνθυμημάτων εἴδη δύο· τὰ μὲν γὰρ δεικτικά ἐστιν, ὅτι ἔστιν ἢ οὐκ ἔστι· τὰ δέ, ἐλεγκτικά· καὶ διαφέρει ὥσπερ ἐν τοῖς διαλεκτικοῖς

A Eodem autem modo & accuſantes, & defendentes, dum ex inſitis conſiderationem habent, accuſant, & defendunt. Ac nihil intereſt, de Athenienſibus an Lacedæmoniis, de homine, an deo, id ipſum facere. Etenim cōſiliū dāti Achilli, & laudāti, & vituperāti, & accuſanti, & defendēti eū, quæ inſunt, aut videntur ineſſe, aſſumenda ſunt, vt ex eis dicamus laudantes, aut vituperantes, ſi quid honeſti inſit, aut inhoneſti: accuſantes, aut defendentes, ſi B quid iuſti inſit, aut iniuſti: conſulentes, ſi quid vtilis aut pernicioſi. Similiter autem his & de re quacunque, vt de iuſtitia bonúmne, an non bonum, ex iis, quæ inſunt iuſtitiæ, aut bono. Iam verò quoniam & omnes videntur in hunc modum demonſtrare, ſiue accuratius, ſiue negligentius ſyllogiſmo concludant (non enim ex omnibus aſſumunt, ſed ex iis, quæ in vnoquoque inſunt) & id ratione probatur: mani- C feſtum enim eſt fieri non poſſe alio modo vt demonſtretur: apparet neceſſarium eſſe, vt in Topicis, primùm circa vnumquodque tenere ſelecta de iis, quæ contingunt, & opportuniſſima ſunt: de iis verò, quæ derepente fiunt, quætere autem modo, ſpectantem non indefinita, ſed inſita, de quibus oratio eſt, & comprehendentem plurima, & proxima rei. Nam quo plura habeantur inſitorum, eo facilius eſt D demonſtrare. Quo verò propiora, eo magis propria, & minus communia. Dicimus autem communia, laudare Achillem, quod homo, & quòd ex Semideis, & quòd ad Ilium militauerit: hæc enim etiam aliis inſunt. Quare nihilo magis iſte Achillem laudat, quàm Diomedem. Propria verò, quæ nemini alij acciderunt, niſi Achilli, vt interfeciſſe Hecto- E rem fortiſſimum Troianorum, & Cycnum, qui prohibebat omnes exſcendere, cùm vulnerari non poſſet, & quòd admodum iuuenis, & iniuratus militauerit, & quæcunque alia eiuſmodi. Ac vnus quidem locus ſelectionis eſt, & primus iſte Topicus. Elementa verò enthymematum dicamus. Elementum autem voco, & locum enthymematis, idem. Ac primùm dicamus, de quibus neceſſe eſt dicere primum. Sunt enim enthymematum F duæ ſpecies. Nam alia valent ad demonſtrandum eſſe, vel non eſſe, alia ad refutandum. Et differunt, vt in Dialecticis